ΑΙ. ἀλλ᾽ ἐπεὶ δοκεῖς τάδ᾽ ἔρδειν καὶ λέγειν, γνώσηι τάχα 1649
σώφρονος γνώμης θ᾽ ἁμαρτὼν τὸν κρατοῦντά ⟨θ᾽ ὑβρίσας.⟩ 1664
εἶα δή, φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε. 1650
ΧΟ. εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
ΑΙ. ἀλλὰ μὴν κἀγὼ πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.
ΧΟ. δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ᾽ αἱρούμεθα.
ΚΛ. μηδαμῶς, ὦ φίλτατ᾽ ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τόδ᾽ ἐξαμῆσαι πολλὰ δύστηνον θέρος. 1655
πημονῆς δ᾽ ἅλις γ᾽· ὕπαρχε μηδέν· ἡιματώμεθα.
στείχετ᾽ αἰδοῖοι γέροντες πρὸς δόμους πεπρωμένους [τούσδε],
πρὶν παθεῖν ἔρξαντας. αἰνεῖν χρῆν τάδ᾽ ὡς ἐπράξαμεν.
εἰ δέ τοι μόχθων γένοιτο τῶνδ᾽ ἅλις, δεχοίμεθ᾽ ἄν,
δαίμονος χηλῆι βαρείαι δυστυχῶς πεπληγμένοι. 1660
ὧδ᾽ ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.
ΑΙ. ἀλλὰ τούσδ᾽ ἐμοὶ ματαίαν γλῶσσαν ὧδ᾽ ἀπανθίσαι
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους. 1663
ΧΟ. οὐκ ἂν Ἀργείων τόδ᾽ εἴη, φῶτα προσσαίνειν κακόν. 1665
ΑΙ. ἀλλ᾽ ἐγώ σ᾽ ἐν ὑστέραισιν ἡμέραις μέτειμ᾽ ἔτι.
ΧΟ. οὔκ, ἐὰν δαίμων ⟨γ᾽⟩ Ὀρέστην δεῦρ᾽ ἀπευθύνηι μολεῖν.
ΑΙ. οἶδ᾽ ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.
ΧΟ. πρᾶσσε, πιαίνου μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.
ΑΙ. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χρόνωι. 1670

---

*Actio:* 1650 iussi ab Aegistho milites strictis gladiis in aciem procedunt; 1651 chorus item aciem instruit; 1652 Aegisthus ducis locum occupat; 1654 Clytaemestra media inter acies oppositas incedit, sensimque Aegisthum ad portam deducit. intrat ille 1670, sequitur Clytaemestra. dum valvae clauduntur, duae acies in diversas partes exeunt.

1664 huc revocavi δ᾽ corr. Stanley ἁμαρτῆ codd. ἁμαρτεῖν Casaubonus θ᾽ ὑβρίσαι suppl. Blomfield 1650 Χορ. praefigunt codd. quam notam 1651 quoque F habet deleta Aegisthi nota 1652 κἀγὼ μήν trai. Porson πρόκωπος GE πρόκοπος F πρόκοπτος Tr 1653 ἐρούμεθα corr. Auratus 1654 δράσομεν corr. Victorius 1655 τάδ᾽ correxi, referretur enim ad πολλά, hoc intensivum ut Pr. 45 θέρος Schütz ὁ ἔρως codd. 1656 tribus vocabulis mutatis (πημάτων ἅλις δ᾽ Herm., ὑπάρχει Scaliger, αἱματώμεθα Stanley) suavior redditur versus; sed animus Clytaemestrae gravissime perturbatus ipsa duritia indicatur 1657 στείχετε δ᾽ οἱ γ. corr. Ahrens τούσδε del. Scaliger
1658 ἔρξαντες F ἔρξαντα GTr καιρὸν corr. Lobeck ἐπραξάμην GTr
1659 γ᾽ ἐχοίμεθ᾽ corr. Herm. 1663 δαίμονας corr. Casaubonus
1667 suppl. Headlam 1670 χρόνωι Wecklein χάριν codd.



SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG